**Luigi Battezzato**

***Honouring the Gods, Honour among the Gods: from Homer to Tragedy***

N. **Gaiman, *American Gods***, London 2001, chapter 6. Wednesday / Odin speaking at the council of gods:
"Our true believers passed on, or stopped believing, and we were left, lost and scared and dispossessed, to get by on what little smidgens of worship or belief we could find. And to get by as best we could."

***Iliad* 12.310-14, 322-328: Sarpedon to Glaucus**

Γλαῦκε τί ἢ δὴ νῶϊ τετιμήμεσθα μάλιστα
ἕδρῃ τε κρέασίν τε ἰδὲ πλείοις δεπάεσσιν
ἐν Λυκίῃ, πάντες δὲ θεοὺς ὣς εἰσορόωσι,
καὶ τέμενος νεμόμεσθα μέγα Ξάνθοιο παρ' ὄχθας
καλὸν φυταλιῆς καὶ ἀρούρης πυροφόροιο;
[…]
ὦ πέπον εἰ μὲν γὰρ πόλεμον περὶ τόνδε φυγόντε
αἰεὶ δὴ μέλλοιμεν ἀγήρω τ' ἀθανάτω τε
ἔσσεσθ', οὔτέ κεν αὐτὸς ἐνὶ πρώτοισι μαχοίμην
οὔτέ κε σὲ στέλλοιμι μάχην ἐς κυδιάνειραν·
νῦν δ' ἔμπης γὰρ κῆρες ἐφεστᾶσιν θανάτοιο
μυρίαι, ἃς οὐκ ἔστι φυγεῖν βροτὸν οὐδ' ὑπαλύξαι,
ἴομεν ἠέ τῳ εὖχος ὀρέξομεν ἠέ τις ἡμῖν.

**Krause 2002**, p. xi: 'Honor rises above the natural limits on human action imposed by the motive of egoistic interest. As a result, it can animate riskier and more difficult actions, even actions that involve the risk of life'

## A. Definitions of honour

**Aristotle, *Rhetoric*** 1361a28-32: τιμὴ δ' ἐστὶν μὲν σημεῖον εὐεργετικῆς εὐδοξίας, τιμῶνται δὲ δικαίως μὲν καὶ μάλιστα οἱ εὐεργετηκότες, οὐ μὴν ἀλλὰ τιμᾶται καὶ ὁ δυνάμενος εὐεργετεῖν· εὐεργεσία δὲ ἢ εἰς σωτηρίαν καὶ ὅσα αἴτια τοῦ εἶναι, ἢ εἰς πλοῦτον, ἢ εἴς τι τῶν ἄλλων ἀγαθῶν, ὧν μὴ ῥᾳδία ἡ κτῆσις ἢ ὅλως ἢ ἐνταῦθα ἢ τότε.

**Oprisko 2012, p. 64** (summarizing session Sessions 2010, pp. 14-7): '*Conferred honor* is granted for a reason held in high regard by the bestowing group. It […] is a foil for recognition honor, which is merely a public display of the value placed upon excellence […] conferred honor is value that is contingent upon the maintenance of status quo norms […] *recogition honor* [is] value placed upon *eccellence'.*

Oprisko 2012, p. 5: 'Through the action of conferral, the honoring agent is claiming sovereignty over the individual, granting a distinction of […] exceptionalism, typically referred to as excellence' [= a combination of Appiah's recognition respect and esteem]

**Appiah 2010, p. 175**: 'One sort of respect […] involves having a *positive regard* for someone because of their success in meeting certain standards. We can term this *esteem*. We esteem people who are good at all kinds of things, from skydiving to poetry'

Appiah 2010, pp. 175-6: 'Sometimes regard doesn't derive from success against a standard and this is the second kind of respect that matters for honor. It is *recognition respect*.' (e.g. police officers, honor peers).

Appiah 2010, p. 176 '*competitive honor*, which you get by excelling at something […] is intrinsically hierarchical'

Appiah 2010, p. 176: ‘recognition respect and esteem can be distributed by honor codes without any regard for morality’
Krause 2002 (blurb): ‘Honor […] combines self-concern and personal ambition with principled higher purposes [cf. p. 173, of M. L. King], and so challenges the disabling dichotomy between self-interest and self-sacrifice that currently pervades both political theory and American public life.’
Krause 2002, p. 2: ‘Honor […] includes (a) *public honors* in the form of external recognition; (c) *codes of honor*; and (c) honor as a *quality of character*, the ambitious desire to live up to one’s code and to be publicly recognized for doing so’
**Brennan, Pettit 2004,** p. 1: “The three ruling passions in human life are often said to be the desire for property, the desire for power, and the desire for prestige or status or esteem (Ricoeur 1965: 168 ff.)”

**B. Honouring the gods, the honour of the gods**

***Iliad* 9.508-9, 513-514**
ὃς μέν τ' **αἰδέσεται κούρας Διὸς** ἆσσον ἰούσας,
τὸν δὲ μέγ' ὤνησαν καί τ' ἔκλυον εὐχομένοιο· […]
ἀλλ' Ἀχιλεῦ **πόρε** καὶ σὺ **Διὸς κούρῃσιν ἕπεσθαι**
**τιμήν**, ἥ τ' ἄλλων περ ἐπιγνάμπτει νόον ἐσθλῶν.
**Cairns 2011**, p. 30 “The same is true of the subjective sense of honour (Greek *aidôs*). *Aidôs* has two related but distinct senses in Homer. First, it is the emotion which focuses on actions and states of affairs which are ‘ugly’, unseemly, or which are said to excite others’ indignation (*nemesis*); in this sense it is normally translated ‘shame’. The range of these categories is wide: it includes personal failure, especially in battle, but also failures in one’s obligations to others. In its second sense (translated ‘respect’), *aidôs* can directly express these obligations: to say ‘I feel *aidôs* for you’ is a way of saying ‘I honour you’.
***Il*. 24.502-3**
ἀλλ’ αἰδεῖο θεοὺς Ἀχιλεῦ, αὐτόν τ’ ἐλέησον
μνησάμενος σοῦ πατρός· ἐγὼ δ’ ἐλεεινότερός περ,
***Od*. 9. 269-70**
ἀλλ’ αἰδεῖο, φέριστε, θεούς· ἱκέται δέ τοί εἰμεν.
Ζεὺς δ’ ἐπιτιμήτωρ ἱκετάων τε ξείνων τε,
***Od*. 21.27-8**
ὅς μιν ξεῖνον ἐόντα κατέκτανεν ᾧ ἐνὶ οἴκῳ,
σχέτλιος, οὐδὲ θεῶν ὄπιν αἰδέσατ’ οὐδὲ τράπεζαν,
τὴν ἥν οἱ παρέθηκεν· ἔπειτα δὲ πέφνε καὶ αὐτόν,
**Theognis 1179** Κύρνε, θεοὺς αἰδοῦ καὶ δείδιθι·
**Euripides *Hippolytus* 1258-9** νῦν δ’ αἰδούμενος
θεούς τ’ ἐκεῖνόν θ’, οὕνεκ’ ἐστὶν ἐξ ἐμοῦ,
οὔθ’ ἥδομαι τοῖσδ’ οὔτ’ ἐπάχθομαι κακοῖς.
**Euripides *Bacchae* 263-4** ὦ ξέν’, οὐκ αἰδῆι θεοὺς
Κάδμον τε τὸν σπείραντα γηγενῆ στάχυν;
**Xenophon Hellenica 2.4.21**: αἰδούμενοι καὶ θεοὺς καὶ ἀνθρώπους
***Iliad* 11.58**
Αἰνείαν θ', ὃς Τρωσὶ **θεὸς ὣς τίετο δήμῳ** (5x *Iliad*, 1x *Od*.)
**Euripides, *Hippolytus*, 7-8**
ἔνεστι γὰρ δὴ κἀν θεῶν γένει τόδε·
τιμώμενοι χαίρουσιν ἀνθρώπων ὕπο.
***Bacchae* 321**
κἀκεῖνος, οἶμαι, τέρπεται τιμώμενος.

**fr. 853.1-3**
τρεῖς εἰσὶν ἀρεταὶ τὰς χρεών σ' ἀσκεῖν, τέκνον,
θεούς τε τιμᾶν τούς τε φύσαντας γονῆς
νόμους τε κοινοὺς Ἑλλάδος
**Sophocles *Oedipus Rex* 906-10**
φθίνοντα γὰρ Λαΐου
θέσφατ' ἐξαιροῦσιν ἤδη,
κοὐδαμοῦ **τιμαῖς** Ἀπόλλων ἐμφανής·
ἔρρει δὲ τὰ θεῖα.
Finglass 2018 on Soph. *OR* 906-907/8 “for a god’s loss of τιμή cf. [Aesch.] *PV* 171 σκῆπτρον τιμάς τ’ἀποσυλᾶται (of Zeus)”
**Hippocrates, *Airs, Waters, Places* 22.28-38 Littré**
Καίτοι ἐχρῆν, ἐπεὶ θειότερον τοῦτο τὸ νόσευμα τῶν λοιπῶν ἐστιν, οὐ τοῖσι γενναιοτάτοισι τῶν Σκυθέων καὶ τοῖσι πλουσιωτάτοισι προσπίπτειν μούνοισι, ἀλλὰ τοῖσιν ἅπασιν ὁμοίως, καὶ μᾶλλον τοῖσιν ὀλίγα κεκτημένοισιν, **οὐ τιμωμένοισιν ἤδη**, **εἰ χαίρουσιν οἱ θεοὶ καὶ θαυμαζόμενοι ὑπ' ἀνθρώπων**, καὶ ἀντὶ τουτέων χάριτας ἀποδιδόασιν. Εἰκὸς γὰρ τοὺς μὲν πλουσίους θύειν πολλὰ τοῖσι θεοῖσι, καὶ ἀνατιθέναι ἀναθήματα, ἐόντων χρημάτων, καὶ **τιμᾷν**, τοὺς δὲ πένητας ἧσσον, διὰ τὸ μὴ ἔχειν, ἔπειτα καὶ ἐπιμεμφομένους ὅτι οὐ διδόασι χρήματα αὐτέοισιν· ὥστε τῶν τοιουτέων ἁμαρτιῶν τὰς ζημίας τοὺς ὀλίγα κεκτημένους φέρειν μᾶλλον ἢ τοὺς πλουσίους.
**Plato *Euthyphro* 14e10-15b3**
ΣΩ. [...] φράσον δέ μοι**, τίς ἡ ὠφελία τοῖς θεοῖς τυγχάνει οὖσα ἀπὸ τῶν δώρων ὧν παρ' ἡμῶν λαμβάνουσιν; ἃ μὲν γὰρ διδόασι** [15a] **παντὶ δῆλον**· οὐδὲν γὰρ ἡμῖν ἐστιν ἀγαθὸν ὅτι ἂν μὴ ἐκεῖνοι δῶσιν. ἃ δὲ παρ' ἡμῶν λαμβάνουσιν, τί ὠφελοῦνται; ἢ τοσοῦτον αὐτῶν πλεονεκτοῦμεν κατὰ τὴν ἐμπορίαν, ὥστε πάντα τὰ ἀγαθὰ παρ' αὐτῶν λαμβάνομεν, ἐκεῖνοι δὲ παρ' ἡμῶν οὐδέν;
ΕΥΘ. Ἀλλ' οἴει, ὦ Σώκρατες, **τοὺς θεοὺς ὠφελεῖσθαι ἀπὸ τούτων ἃ παρ' ἡμῶν λαμβάνουσιν**;
ΣΩ. Ἀλλὰ τί δήποτ' ἂν εἴη ταῦτα, ὦ Εὐθύφρων, τὰ παρ' ἡμῶν δῶρα τοῖς θεοῖς;
ΕΥΘ. Τί δ' οἴει ἄλλο **ἢ τιμή τε καὶ γέρα καί,** ὅπερ ἐγὼ ἄρτι ἔλεγον, **χάρις**; [15b1]
**Mikalson 1991**, pp. 165-202: ‘piety and honor’
**Scholion on *Iliad* 8.429 Erbse**
<τῶν ἄλλος μὲν ἀποφθίσθω:> ὅταν εἰς τὴν ἀξίαν ἀτενίσῃ τῶν θεῶν, τότε φησὶν αὐτοὺς μὴ κινεῖσθαι περὶ θνητῶν ὡς οὐδὲ ἂν ἡμεῖς περὶ μυρμήκων. ὅταν δὲ ἐπιλογίσηται τὴν ποιητικήν, ἕπεται τοῖς μύθοις καὶ τὴν ὑπόθεσιν ἐκτραγῳδεῖ, b(BCE$^3$E$^4$)T συμμαχίας καὶ θεομαχίας παράγων. A b(BE$^3$E$^4$)T
**Aristophanes, *Birds* 1514-1524**
ΠΡ. Ἀπόλωλεν ὁ Ζεύς.
ΠΙ. Πηνίκ' ἄττ' ἀπώλετο;
ΠΡ. Ἐξ οὗπερ ὑμεῖς ᾠκίσατε τὸν ἀέρα.
Θύει γὰρ οὐδεὶς οὐδὲν ἀνθρώπων ἔτι
θεοῖσιν, οὐδὲ κνῖσα μηρίων ἄπο
ἀνῆλθεν ὡς ἡμᾶς ἀπ' ἐκείνου τοῦ χρόνου,
ἀλλ' ὡσπερεὶ Θεσμοφορίοις νηστεύομεν
ἄνευ θυηλῶν· οἱ δὲ βάρβαροι θεοὶ
πεινῶντες ὥσπερ Ἰλλυριοὶ κεκριγότες
ἐπιστρατεύσειν φάσ' ἄνωθεν τῷ Διί,
εἰ μὴ παρέξει τἀμπόρι' ἀνεῳγμένα,
ἵν' εἰσάγοιτο σπλάγχνα κατατετμημένα.
***Birds* 539-43**
Πολὺ δὴ πολὺ δὴ χαλεπωτάτους λόγους

ἤνεγκας, ἄνθρωφ'· ὡς ἐδάκρυσά γ' ἐμῶν
πατέρων κάκην, οἳ
τάσδε τὰς **τιμὰς** προγόνων παραδόντων
ἐπ' ἐμοὶ κατέλυσαν.

***Birds* 1277-1279**

Ὦ κλεινοτάτην αἰθέριον οἰκίσας πόλιν,
οὐκ οἶσθ' ὅσην **τιμὴν παρ' ἀνθρώποις** φέρει,
ὅσους τ' ἐραστὰς τῆσδε τῆς χώρας ἔχεις.

**C Homer**

***Iliad* 15.187-189**

τρεῖς γάρ τ' ἐκ Κρόνου εἰμὲν ἀδελφεοὶ οὓς τέκετο Ῥέα
Ζεὺς καὶ ἐγώ, τρίτατος δ' Ἀΐδης ἐνέροισιν ἀνάσσων.
τριχθὰ δὲ πάντα δέδασται, **ἕκαστος δ' ἔμμορε τιμῆς**· 189

**D Hesiod: the honour of Hecate**

**Hesiod *Theogony* 81-4**

**ὅντινα τιμήσουσι** Διὸς κοῦραι μεγάλοιο
γεινόμενόν τε ἴδωσι διοτρεφέων βασιλήων,
τῷ μὲν ἐπὶ γλώσσῃ γλυκερὴν χείουσιν ἐέρσην,
τοῦ δ᾽ ἔπε᾽ ἐκ στόματος ῥεῖ μείλιχα

West 1966 ad Hes. Th. 81 'For τιμᾶν of favour shown by a god to a mortal cf. 418, 532, *Il.* 2.4, 15.612, *Od.* 3.379, *h.* xxv.6, xxx.8, Tyrt. 3.3, Sappho 112.5, Thgn. 169, Bacch. 5.193, A. *Ag.* 1337, Cleanth. 1. 36 etc.'

**Hesiod, *Theogony* 389-399 (ed. West 1966)**

ὣς γὰρ ἐβούλευσε Στὺξ ἄφθιτος Ὠκεανίνη
ἤματι τῷ, ὅτε πάντας Ὀλύμπιος ἀστεροπητὴς
ἀθανάτους ἐκάλεσσε θεοὺς ἐς μακρὸν Ὄλυμπον,
εἶπε δ', ὃς ἂν μετὰ εἷο θεῶν Τιτῆσι μάχοιτο,
**μή τιν' ἀπορραίσειν γεράων, τιμὴν δὲ ἕκαστον**
**ἑξέμεν ἣν τὸ πάρος γε μετ' ἀθανάτοισι θεοῖσι**.
τὸν δ' ἔφαθ', **ὅστις ἄτιμος ὑπὸ Κρόνου ἠδ' ἀγέραστος,**
**τιμῆς καὶ γεράων ἐπιβησέμεν, ἣ θέμις ἐστίν**.
ἦλθε δ' ἄρα πρώτη Στὺξ ἄφθιτος Οὔλυμπόνδε
σὺν σφοῖσιν παίδεσσι φίλου διὰ μήδεα πατρός·
**τὴν δὲ Ζεὺς τίμησε, περισσὰ δὲ δῶρα ἔδωκεν**.

**Hesiod, *Theogony* 409-453 (ed. West 1966)**

γείνατο δ' Ἀστερίην εὐώνυμον, ἥν ποτε Πέρσης
ἠγάγετ' ἐς μέγα δῶμα φίλην κεκλῆσθαι ἄκοιτιν.
ἡ δ' ὑποκυσαμένη Ἑκάτην τέκε, **τὴν περὶ πάντων**
**Ζεὺς Κρονίδης τίμησε**· πόρεν δέ οἱ ἀγλαὰ **δῶρα**,
**μοῖραν** ἔχειν γαίης τε καὶ ἀτρυγέτοιο θαλάσσης.
ἡ δὲ καὶ ἀστερόεντος ἀπ' οὐρανοῦ **ἔμμορε τιμῆς**,
ἀθανάτοις τε θεοῖσι **τετιμένη** ἐστὶ μάλιστα.
καὶ γὰρ νῦν, ὅτε πού τις ἐπιχθονίων ἀνθρώπων
ἔρδων ἱερὰ καλὰ κατὰ νόμον ἱλάσκηται,
κικλήσκει Ἑκάτην· πολλή τέ οἱ ἕσπετο **τιμὴ**
ῥεῖα μάλ', ᾧ πρόφρων γε θεὰ ὑποδέξεται εὐχάς,
καί τέ οἱ ὄλβον ὀπάζει, ἐπεὶ δύναμίς γε πάρεστιν.
ὅσσοι γὰρ Γαίης τε καὶ Οὐρανοῦ ἐξεγένοντο

καὶ **τιμὴν** ἔλαχον, τούτων ἔχει **αἶσαν** ἁπάντων·
οὐδέ τί μιν Κρονίδης ἐβιήσατο οὐδέ τ' ἀπηύρα,
ὅσσ' ἔλαχεν Τιτῆσι μέτα προτέροισι θεοῖσιν,
ἀλλ' ἔχει, ὡς τὸ πρῶτον ἀπ' ἀρχῆς ἔπλετο δασμός.
οὐδ', ὅτι μουνογενής, ἧσσον θεὰ ἔμμορε **τιμῆς**
καὶ γεράων γαίῃ τε καὶ οὐρανῷ ἠδὲ θαλάσσῃ,
ἀλλ' ἔτι καὶ πολὺ μᾶλλον, ἐπεὶ Ζεὺς **τίεται** αὐτήν.
ᾧ δ' ἐθέλῃ, μεγάλως παραγίνεται ἠδ' ὀνίνησιν· 429
ἔν τε δίκῃ βασιλεῦσι παρ' αἰδοίοισι καθίζει, 434
ἔν τ' ἀγορῇ λαοῖσι **μεταπρέπει**, ὅν κ' ἐθέλῃσιν· 430
ἠδ' ὁπότ' ἐς πόλεμον φθισήνορα θωρήσσωνται
ἀνέρες, ἔνθα θεὰ παραγίνεται, οἷς κ' ἐθέλῃσι
νίκην προφρονέως ὀπάσαι καὶ **κῦδος** ὀρέξαι. 433
[…]
οὕτω τοι καὶ μουνογενὴς ἐκ μητρὸς ἐοῦσα
πᾶσι μετ' ἀθανάτοισι **τετίμηται γεράεσσι**.
θῆκε δέ μιν Κρονίδης κουροτρόφον, οἳ μετ' ἐκείνην
ὀφθαλμοῖσιν ἴδοντο φάος πολυδερκέος Ἠοῦς.
οὕτως ἐξ ἀρχῆς κουροτρόφος, αἳ δέ τε **τιμαί**.

**D *Eumenides***

**Aeschylus *Eumenides* 1-7** (text Sommerstein 2008, slightly adapted)
Πρῶτον μὲν εὐχῇ τῇδε **πρεσβεύω** θεῶν
τὴν πρωτόμαντιν Γαῖαν· ἐκ δὲ τῆς Θέμιν,
ἣ δὴ τὸ μητρὸς δευτέρα τόδ' ἕζετο
μαντεῖον, ὡς λόγος τις· **ἐν δὲ τῷ τρίτῳ**
**λάχει**, θελούσης, οὐδὲ πρὸς βίαν τινός,
Τιτανὶς ἄλλη παῖς Χθονὸς καθέζετο,
Φοίβη·

**Aeschylus *Eumenides* 100**
Clyt. παθοῦσα δ' οὕτω δεινὰ πρὸς τῶν φιλτάτων

**Aeschylus *Eumenides* 144**
Chorus: ἦ πολλὰ δὴ παθοῦσα καὶ μάτην ἐγώ.

**Aeschylus *Eumenides* 171**
Chorus: παρὰ νόμον θεῶν βρότεα μὲν τίων,

**Aeschylus *Eumenides* 213-14**
Apollo: ἦ κάρτ' ἄτιμα καὶ παρ' οὐδὲν ἠργάσω
Ἥρας τελείας καὶ Διὸς πιστώματα.

**Aeschylus *Eumenides* 323-4**
Chorus: ὁ Λατοῦς γὰρ ἶ|νίς μ' ἄτιμον τίθησιν

**Aeschylus *Eumenides* 385-6**
**ἀτίετα** διόμεναι λάχη | θεῶν διχοστατοῦντ' ἀναλίῳ λάμπᾳ,

**Aeschylus *Eumenides* 389-95**
τίς οὖν τάδ' οὐχ ἅζεταί
τε καὶ δέδοικεν βροτῶν,
ἐμοῦ κλύων θεσμὸν
τὸν μοιρόκραντον ἐκ θεῶν
δοθέντα τέλεον; ἔτι δέ μοι
γέρας παλαιόν, οὐδ' ἀτιμίας κύρω,

καίπερ ὑπὸ χθόνα τάξιν ἔχουσα
καὶ δυσάλιον κνέφας.
**Aeschylus *Eumenides* 419**
Chorus: τιμάς γε μὲν δὴ τὰς ἐμὰς πεύσῃ τάχα.
**Aeschylus *Eumenides* 490-3**
νῦν καταστροφαὶ νέων
θεσμίων, εἰ κρατή-
σει δίκα τε καὶ βλάβα
τοῦδε μητροκτόνου.
**Aeschylus *Eumenides* 539**
Chorus: βωμὸν αἴδεσαι Δίκας
**Aeschylus *Eumenides* 545-8**
Chorus: πρὸς τάδε τις τοκέων **σέβας** εὖ **προτίων**
καὶ **ξενοτίμους**
ἐπιστροφὰς δωμάτων
**αἰδόμενός** τις ἔστω.
**Aeschylus *Eumenides* 640-1**
Chorus: πατρὸς προτιμᾷ Ζεὺς μόρον τῷ σῷ λόγῳ·
αὐτὸς δ' ἔδησε πατέρα πρεσβύτην Κρόνον.
**Aeschylus *Eumenides* 644-8**
Apollo: ὦ παντομισῆ κνώδαλα, στύγη θεῶν,
πέδας μὲν ἂν λύσειεν, ἔστι τοῦδ' ἄκος,
καὶ κάρτα πολλὴ μηχανὴ λυτήριος·
ἀνδρὸς δ' ἐπειδὰν αἷμ' ἀνασπάσῃ κόνις
ἅπαξ θανόντος, οὔτις ἔστ' ἀνάστασις.
**Aeschylus *Eumenides* 721-33**
Απ. **ἀλλ' ἔν τε τοῖς νέοισι καὶ παλαιτέροις**
**θεοῖς ἄτιμος εἶ σύ**· νικήσω δ' ἐγώ.
Χο. τοιαῦτ' ἔδρασας καὶ Φέρητος ἐν δόμοις·
Μοίρας ἔπεισας ἀφθίτους θεῖναι βροτούς.
Απ. οὔκουν δίκαιον τὸν σέβοντ' εὐεργετεῖν,
ἄλλως τε πάντως χὤτε δεόμενος τύχοι;
Χο. σύ τοι **παλαιὰς δαιμονὰς καταφθίσας**
[δαιμονὰς Maas, Sommerstein: δαίμονας codd.: διανομὰς Σ Eur. *Alc*. 12, West]
οἴνῳ παρηπάφησας ἀρχαίας θεάς.
Απ. σύ τοι τάχ' οὐκ ἔχουσα τῆς δίκης τέλος
ἐμῇ τὸν ἰὸν οὐδὲν ἐχθροῖσιν βαρύν.
Χο. ἐπεὶ **καθιππάζῃ** με πρεσβῦτιν νέος,
δίκης γενέσθαι τῆσδ' ἐπήκοος μένω,
ὡς ἀμφίβουλος οὖσα θυμοῦσθαι πόλει.
**Aeschylus *Eumenides* 778-83**
Chorus: ἰὼ θεοὶ νεώτεροι, παλαιοὺς νόμους
καθιππάσασθε κἀκ χερῶν εἵλεσθέ μου.
ἐγὼ δ' ἄτιμος ἁ τάλαινα βαρύκοτος
ἐν γᾷ τᾷδε, φεῦ,
ἰὸν ἰὸν ἀντιπεν-
θῆ μεθεῖσα καρδίας
σταλαγμὸν χθονὶ

ἄφορον
**Aeschylus *Eumenides* 794-6**
Αθ. ἐμοὶ πίθεσθε μὴ βαρυστόνως φέρειν.
**οὐ γὰρ νενίκησθ'**, ἀλλ' ἰσόψηφος δίκη
ἐξῆλθ' ἀληθῶς, **οὐκ ἀτιμίᾳ σέθεν·**
**Aeschylus *Eumenides* 824-36**
Αθ. **οὐκ ἔστ' ἄτιμοι**, μηδ' ὑπερθύμως ἄγαν
θεαὶ βροτῶν κτίσητε δύσκηλον χθόνα.
κἀγὼ πέποιθα Ζηνὶ καί – τί δεῖ λέγειν; –
καὶ κλῇδας οἶδα δώματος μόνη θεῶν
ἐν ᾧ κεραυνός ἐστιν ἐσφραγισμένος·
ἀλλ' οὐδὲν αὐτοῦ δεῖ· σὺ δ' εὐπειθὴς ἐμοὶ
γλώσσης ματαίας μὴ 'κβάλῃς ἔπη χθονί
καρπὸν φέροντα πάντα μὴ πράσσειν καλῶς.
κοίμα κελαινοῦ κύματος πικρὸν μένος
ὡς **σεμνότιμος** καὶ ξυνοικήτωρ ἐμοί·
πολλῆς δὲ χώρας τῆσδε **τἀκροθίνια**
**θύη πρὸ παίδων καὶ γαμηλίου τέλους**
**ἔχουσ'** ἐς αἰεὶ τόνδ' ἐπαινέσεις λόγον.
**Aeschylus *Eumenides* 837-8**
ἐμὲ παθεῖν τάδε, |φεῦ, | ἐμὲ παλαιόφρονα, κατά τε γᾶν οἰκεῖν, | ἀτίετον, φεῦ, μύσος.
**Aeschylus *Eumenides* 853-7**
Athena: οὑπιρρέων γὰρ **τιμιώτερος χρόνος**
ἔσται πολίταις τοῖσδε. καὶ σὺ **τιμίαν**
ἕδραν ἔχουσα πρὸς δόμοις Ἐρεχθέως
τεύξῃ παρ' ἀνδρῶν καὶ γυναικείων στόλων
ὅσ' ἂν παρ' ἄλλων οὔποτ' ἂν σχέθοις βροτῶν.
**Aeschylus *Eumenides* 867-9**
τοιαῦθ' ἑλέσθαι σοι πάρεστιν ἐξ ἐμοῦ,
εὖ δρῶσαν, εὖ πάσχουσαν, **εὖ τιμωμένην**
χώρας μετασχεῖν τῆσδε θεοφιλεστάτης.
**Aeschylus *Eumenides* 881-4**
οὔτοι καμοῦμαί σοι λέγουσα τἀγαθά,
ὡς μήποτ' εἴπῃς πρὸς νεωτέρας ἐμοῦ
θεὸς παλαιὰ καὶ πολισσούχων βροτῶν
**ἄτιμος** ἔρρειν τοῦδ' ἀπόξενος πέδου.
**Aeschylus *Eumenides* 894-5**
Χο. καὶ δὴ δέδεγμαι· τίς δέ μοι **τιμὴ** μένει;
Αθ. ὡς μή τιν' οἶκον εὐθενεῖν ἄνευ σέθεν.
**Aeschylus *Eumenides* 916-17**
Cho.: δέξομαι Παλλάδος ξυνοικίαν,
οὐδ' ἀτιμάσω πόλιν
**Aeschylus *Eumenides* 967**
Cho.: πάντᾳ **τιμιώταται** θεῶν.
**Aeschylus *Eumenides* 992-5**
Ath.: τάσδε γὰρ εὔφρονας εὔφρονες ἀεὶ
**μέγα τιμῶντες** καὶ γῆν καὶ πόλιν
ὀρθοδίκαιον

πρέψετε πάντως διάγοντες.

**Aeschylus *Eumenides* 1028-9**

Ath.: φοινικοβάπτοις ἐνδυτοῖς ἐσθήμασι
**τιμᾶτε**

**Aeschylus *Eumenides* 1032-8**

Propompoi: βᾶθ' ὁδόν, ὦ μεγάλαι **φιλότιμοι**
Νυκτὸς παῖδες ἄπαιδες, ὑπ' εὐθύφρονι πομπᾷ.
εὐφαμεῖτε δέ, χωρῖται.
γᾶς ὑπὸ κεύθεσιν ὠγυγίοισιν
**τιμαῖς** καὶ θυσίαις περίσεπτα τύχοιτε.

## E Prometheus

**Plato, *Protagoras* 322a**

Ἐπειδὴ δὲ ὁ ἄνθρωπος θείας μετέσχε μοίρας, πρῶτον μὲν διὰ τὴν τοῦ θεοῦ συγγένειαν ζῴων μόνον θεοὺς ἐνόμισεν, καὶ [322.a.5] ἐπεχείρει βωμούς τε ἱδρύεσθαι καὶ ἀγάλματα θεῶν· ἔπειτα φωνὴν καὶ ὀνόματα ταχὺ διηρθρώσατο τῇ τέχνῃ, καὶ οἰκήσεις καὶ ἐσθῆτας καὶ ὑποδέσεις καὶ στρωμνὰς καὶ τὰς ἐκ γῆς τροφὰς ηὕρετο. οὕτω δὴ παρεσκευασμένοι κατ' ἀρχὰς [322.b.1] ἄνθρωποι ᾤκουν σποράδην, πόλεις δὲ οὐκ ἦσαν· ἀπώλλυντο οὖν ὑπὸ τῶν θηρίων διὰ τὸ πανταχῇ αὐτῶν ἀσθενέστεροι εἶναι, καὶ ἡ δημιουργικὴ τέχνη αὐτοῖς πρὸς μὲν τροφὴν ἱκανὴ βοηθὸς ἦν, πρὸς δὲ τὸν τῶν θηρίων πόλεμον ἐνδεής [322.b.5] – πολιτικὴν γὰρ τέχνην οὔπω εἶχον, ἧς μέρος πολεμική – ἐζήτουν δὴ ἁθροίζεσθαι καὶ σῴζεσθαι κτίζοντες πόλεις· ὅτ' οὖν ἁθροισθεῖεν, ἠδίκουν ἀλλήλους ἅτε οὐκ ἔχοντες τὴν πολιτικὴν τέχνην, ὥστε πάλιν σκεδαννύμενοι διεφθείροντο. [322.c.1] Ζεὺς οὖν δείσας περὶ τῷ γένει ἡμῶν μὴ ἀπόλοιτο πᾶν, Ἑρμῆν πέμπει ἄγοντα εἰς ἀνθρώπους αἰδῶ τε καὶ δίκην, ἵν' εἶεν πόλεων κόσμοι τε καὶ δεσμοὶ φιλίας συναγωγοί. ἐρωτᾷ οὖν Ἑρμῆς Δία τίνα οὖν τρόπον δοίη δίκην καὶ αἰδῶ ἀνθρώποις· [322.c.5] "Πότερον ὡς αἱ τέχναι νενέμηνται, οὕτω καὶ ταύτας νείμω; νενέμηνται δὲ ὧδε· εἷς ἔχων ἰατρικὴν πολλοῖς ἱκανὸς ἰδιώταις, καὶ οἱ ἄλλοι δημιουργοί· καὶ δίκην δὴ καὶ αἰδῶ [322.d.1] οὕτω θῶ ἐν τοῖς ἀνθρώποις, ἢ ἐπὶ πάντας νείμω;" "Ἐπὶ πάντας," ἔφη ὁ Ζεύς, "καὶ πάντες μετεχόντων· οὐ γὰρ ἂν γένοιντο πόλεις, εἰ ὀλίγοι αὐτῶν μετέχοιεν ὥσπερ ἄλλων τεχνῶν· καὶ νόμον γε θὲς παρ' ἐμοῦ τὸν μὴ δυνάμενον [322.d.5] αἰδοῦς καὶ δίκης μετέχειν κτείνειν ὡς νόσον πόλεως."

## Bibliography


K.A. Appiah 2010: K.A. Appiah, *The honor code: how moral revolutions happen*, New York 2010.

G. Brennan, P. Pettit 2004: G. Brennan, P. Pettit, *The economy of esteem: an essay on civil and political society*, Oxford 2004.

D.L. Cairns 2011: D.L. Cairns, *Honour and shame: modern controversies and ancient values*, «Critical Quarterly», 53, 2011, pp. 23-41.

P.J. Finglass 2018: P.J. Finglass, *Sophocles: Oedipus the King*, Cambridge 2018.

S.R. Krause 2002: S.R. Krause, *Liberalism with honor*, Cambridge, Mass. 2002.

J.D. Mikalson 1991: J.D. Mikalson, *Honor Thy Gods: popular religion in Greek tragedy*, Chapel Hill 1991.

R.L. Oprisko 2012: R.L. Oprisko, *Honor: A phenomenology*, New York/Abingdon 2012.

W.L. Sessions 2010: W.L. Sessions, *Honor for us: a philosophical analysis, interpretation and defense*, London 2010.

A.H. Sommerstein 2008: A.H. Sommerstein, *Aeschylus: Oresteia. Agamemnn, Libation-bearers, Eumenides.*, Cambridge, Mass. 2008.

M.L. West 1966: M.L. West, *Hesiod, Theogony, edited with prolegomena and commentary by M. L. W.*, Oxford 1966.